UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Theodoro Scholastico. 164.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἐνοχλεῖν τοῖς ἀκούουσιν, ἐναγώνιον δ' εἶναι. παρά τοι τὸ τῆς φύσεως ἐπιρρεπὲς πρὸς ἁμαρτίαν, καὶ τῶν ἀκουόντων τὴν περὶ τὰ κακὰ ἑτοιμοτέραν πίστιν τε καὶ συγκατάθεσιν. ὀλίγοι δὲ τοῖς καλοῖς, πολλοὶ δὲ τοῖς κακοῖς πιστεύουσιν, οὐ μόνον ἐκ τῶν καθ' ἑαυτοὺς, καὶ τὴν περὶ τῶν ἄλλων φέροντες ψῆφον, ἀλλὰ καὶ τὰς σφῶν ἁμαρτίας διὰ τῆς τῶν ἄλλων κατηγορίας περιστέλλειν οἰόμενοι.

tum ne audientibus graues ac moleſti ſimus: In ſolicitudine autem atque angore verſemur, tum ob naturæ noſtrę in vitium propenſionem, tum quia auditores ad fidem & aſſenſionẽ vitiis adhibendã promptiores ſunt. Pauci enim virtutibus, multi vitiis fidem accõmodant, non modò quia ex eis quæ in ſe agnoſcunt ad idem de aliis pronunciandũ adducuntur: verùm etiam quia inſectandis & accuſandis aliis id ſe aſſequi putant, vt peccata ſua obtegant.

Τῷ αὐτῷ. ρξγ.

Εὐσεβείας, ὦ ἐλλογιμώτατε, διττὸς ὁ τρόπος. ὁ μὲν ἁγιώτατος καὶ θειότατος ἐν ψυχῇ. ἱερεῖον γὰρ τοῦτο κάλλιστον, καὶ θεῷ προσφιλέστατον, τὴν γνώμην ἔχειν εὐαγῆ, καὶ τὴν θείαν παρουσίαν φαντάζεσθαι, ἱδρυμένην τε καὶ βεβαίαν ἔχειν ἐν τοῖς τῆς ψυχῆς τεμένεσιν. ὁ δὲ δεύτερος ἐν τῇ ἁγνείᾳ τοῦ σώματος. ὁ γὰρ τούτων τῶν δύο τρόπων χηρεύων, οὐδὲ εἰ τὰ γῆς τε καὶ θαλάττης τιμαλφέστατα προσάγοι κειμήλια, οὔτε πάντα τὰ ἱερουργεῖσθαι πρώην νενομοθετημένα ζῶα καταβάλλοι, χαριεῖται θεῷ.

Eidem. 163.

Pietatis, vir elegantiſſime, duplex eſt modus. Vnus ſanctiſſimus maximéque diuinus: in anima pulcherrima enim hæc victima eſt, Deóque in primis grata, mentem piam habere, diuinæque pręſentię ſibi ſpeciem fingere, atque in animæ delubro fixam & ſtabilem tenere. Alter in corporis caſtitate. Nam qui his duobus modis deſtitutus eſt, nec ſi pretioſiſſimos terræ ac maris theſauros offerat, aut omnia ea animantia, quæ Legis præſcripto non ita pridem immolabantur, adhibeat, gratiam apud Deum initurus eſt.

Θεοδώρῳ χολαστικῷ. ρξδ.

Θεσμός ἐστιν ἄνωθεν καλῶς κεκυρωμένος, καὶ νόμος ἄγραφος πρὸς φιλανθρωπίαν βλέπων, τοὺς κρατοῦντας τοῖς ὅπλοις τῶν ἱκετευόντων ἡττᾶσθαι, καὶ τοὺς πολέμῳ νικῶντας παραχωρεῖν τῷ οἴκτῳ. σὺ δ', ὥς φασιν, οὔτε τοὺς ἐμφύτους θεσμοὺς, οὔτε τοὺς ἀγράφους νόμους αἰδεσθεὶς, τοὺς περὶ τῶν οἰκετῶν τὴν συνηγορίαν ἀναδεξαμένους ἠτίμασας. ἴσθι τοίνυν ὅτι εἰκός σε εἰς τοῦτο περιστῆναι τὸ χῆμα, ὃ ἄλλους θεασάμενος ἔχοντας, οὐκ ἔπαθές τι ἀνθρώπινον, ἀλλ' ἀμείλικτος ὤφθης, καὶ τὴν φύσιν αὐτὴν, καὶ τὸν ἔλεον ὑβρίσας.

Theodoro Scholaſtico. 164.

Lex eſt antiquitus præclarè confirmata, ſanctióque minimè ſcripta, ad humanitatem tendens, vt qui armis vincunt, ſupplicibus eorũ, quos vicerint, precibus vincantur, & qui bello ſuperant, miſericordiæ cedant. Tu verò, vt aiunt, nec à natura inſitis legibus, nec ſanctionibus ſcripto minimè præditis, permotus, eos, qui pro famulis tuis patronorum munus ſuſceperunt, contempſiſti. Hoc igitur tibi eſt exploratum, minimè incredibile eſſe, qui ad eundem habitum redigaris, quem tu in aliis conſpicatus, nihil humani ſenſiſti, verùm eam animi acerbitatem præ te tuliſti, vt & naturæ ipſi, & miſericordiæ contumeliam inferres.